καὶ Αθαριας μὴ μετέχειν τῶν ἁγίων αὐτούς, ἕως ἀναστῇ ἀρχιερεὺς
ἐνδεδυμένος τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. — 41οἱ δὲ πάντες 41
ἦσαν· Ισραηλ ἀπὸ δωδεκαετοῦς χωρὶς παίδων καὶ παιδισκῶν μυ-
ριάδες τέσσαρες δισχίλιοι τριακόσιοι ἑξήκοντα· παῖδες τούτων καὶ
παιδίσκαι ἑπτακισχίλιοι τριακόσιοι τριάκοντα ἑπτά· ψάλται καὶ
ψαλτῳδοὶ διακόσιοι τεσσαράκοντα πέντε· 42κάμηλοι τετρακόσιοι 42
τριάκοντα πέντε, καὶ ἵπποι ἑπτακισχίλιοι τριάκοντα ἕξ, ἡμίονοι
διακόσιοι τεσσαράκοντα πέντε, ὑποζύγια πεντακισχίλια πεντακόσια
εἴκοσι πέντε. — 43καὶ ἐκ τῶν ἡγουμένων κατὰ τὰς πατριὰς ἐν τῷ 43
παραγίνεσθαι αὐτοὺς εἰς τὸ ἱερὸν τοῦ θεοῦ τὸ ἐν Ιερουσαλημ εὔ-
ξαντο ἐγεῖραι τὸν οἶκον ἐπὶ τοῦ τόπου αὐτοῦ κατὰ τὴν αὐτῶν
δύναμιν 44καὶ δοῦναι εἰς τὸ ἱερὸν γαζοφυλάκιον τῶν ἔργων χρυ- 44
σίου μνᾶς χιλίας καὶ ἀργυρίου μνᾶς πεντακισχιλίας καὶ στολὰς
ἱερατικὰς ἑκατόν. — 45καὶ κατῳκίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται 45
καὶ οἱ ἐκ τοῦ λαοῦ ἐν Ιερουσαλημ καὶ τῇ χώρᾳ, οἵ τε ἱεροψάλται
καὶ οἱ θυρωροὶ καὶ πᾶς Ισραηλ ἐν ταῖς κώμαις αὐτῶν.

46Ἐνστάντος δὲ τοῦ ἑβδόμου μηνὸς καὶ ὄντων τῶν υἱῶν Ισραηλ 46
ἑκάστου ἐν τοῖς ἰδίοις συνήχθησαν ὁμοθυμαδὸν εἰς τὸ εὐρύχωρον
τοῦ πρώτου πυλῶνος τοῦ πρὸς τῇ ἀνατολῇ. 47καὶ καταστὰς Ἰη- 47
σοῦς ὁ τοῦ Ιωσεδεκ καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ Ζοροβαβελ
ὁ τοῦ Σαλαθιηλ καὶ οἱ τούτου ἀδελφοὶ ἡτοίμασαν τὸ θυσιαστήριον
τοῦ θεοῦ τοῦ Ισραηλ 48προσενέγκαι ἐπ᾽ αὐτοῦ ὁλοκαυτώσεις ἀκο- 48
λούθως τοῖς ἐν τῇ Μωυσέως βίβλῳ τοῦ ἀνθρώπου τοῦ θεοῦ διηγο-
ρευμένοις. 49καὶ ἐπισυνήχθησαν αὐτοῖς ἐκ τῶν ἄλλων ἐθνῶν τῆς 49
γῆς. καὶ κατώρθωσαν τὸ θυσιαστήριον ἐπὶ τοῦ τόπου αὐτοῦ, ὅτι
ἐν ἔχθρᾳ ἦσαν αὐτοῖς καὶ κατίσχυσαν αὐτοὺς πάντα τὰ ἔθνη τὰ
ἐπὶ τῆς γῆς, καὶ ἀνέφερον θυσίας κατὰ τὸν καιρὸν καὶ ὁλοκαυτώ-
ματα τῷ κυρίῳ τὸ πρωινὸν καὶ τὸ δειλινὸν 50καὶ ἠγάγοσαν τὴν 50
τῆς σκηνοπηγίας ἑορτήν, ὡς ἐπιτέτακται ἐν τῷ νόμῳ, καὶ θυσίας
καθ᾽ ἡμέραν, ὡς προσῆκον ἦν, 51καὶ μετὰ ταῦτα προσφορὰς ἐνδε- 51
λεχισμοῦ καὶ θυσίας σαββάτων καὶ νουμηνιῶν καὶ ἑορτῶν πασῶν
ἡγιασμένων. 52καὶ ὅσοι εὔξαντο εὐχὴν τῷ θεῷ, ἀπὸ τῆς νουμηνίας 52
τοῦ ἑβδόμου μηνὸς ἤρξαντο προσφέρειν θυσίας τῷ θεῷ, καὶ ὁ
ναὸς τοῦ θεοῦ οὔπω ᾠκοδόμητο. 53καὶ ἔδωκαν ἀργύριον τοῖς λα- 53
τόμοις καὶ τέκτοσι καὶ βρωτὰ καὶ ποτὰ καὶ χαρα τοῖς Σιδωνίοις

40 αυτους > B† | εως αναστη] εως ου αν στη A†, εως αν αναστη *L*†: cf. II 17 65 | αρχιερευς] αρχ > B: cf. 9 39 || 41 τριακοσιοι 1° ⌒ 2° A† || 42 init.] pr. και A† || 43 αυτων] εαυ. *L*† || 45 λαου] + αυτου B† || 46 την ανατολην A || 47 του ult. A*L*† et codex unus codici B cognatus] > rel. || 48 αυτου B†] -το A || 49 κατωρθωσαν] -θωθησαν επι B† | αυτου] -των B*L*† | και κατισχ.] και > B*† | τω > B†, τω κυριω > compl. || 50 την της] τας A† || 52 εβδομου] πρωτου B† | ηρξατο B† || 53 βρωτα .. ποτα] tr. B*L*† | χαρα B† (cf. Sy *gaudium*)] καρρα A, καρυα *L*†